

τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ· ἐκείνῳ ἴσον ὑπόκειται
τὸ ἀπὸ τῆς ΞΡ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τοῖς ἀ-
πὸ τῶν ΛΞ ΞΡ· τοῖς δὲ ἀπὸ τῶν ΛΞ ΞΡ ἴσον ἐστὶ τὸ ἀ-
πὸ τῆς ΛΡ· ὀρθὴ γὰρ ἡ ὑπὸ ΛΞΡ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ
ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΡΛ· ἴση ἄρα ἡ ΑΒ τῇ ΡΛ· ἀλλὰ
τῇ μὲν ΑΒ ἴση ἐστὶν ἑκάστη τῶν ΒΓ ΔΕ ΕΖ ΗΘ ΘΚ·
τῇ δὲ ΡΛ ἴση ἑκατέρα τῶν ΡΜ ΡΝ· ἑκάστη ἄρα
τῶν ΑΒ ΒΓ ΔΕ ΕΖ ΗΘ ΘΚ ἑκάστῃ τῶν ΡΛ ΡΜ ΡΝ ἴση
ἐστίν· καὶ ἐπεὶ δύο αἱ ΛΡ ΡΜ δυσὶ ταῖς ΑΒ ΒΓ ἴσαι εἰσίν·
καὶ βάσις ἡ ΛΜ βάσει τῇ ΑΓ ὑπόκειται ἴση· γωνία
ἄρα ἡ ὑπὸ ΛΡΜ τῇ ὑπὸ ΑΒΓ ἐστὶν ἴση· διὰ τὰ αὐτὰ
δὴ καὶ ἡ μὲν ὑπὸ ΜΡΝ τῇ ὑπὸ ΔΕΖ ἐστὶν ἴση· ἡ δὲ ὑ-
πὸ ΛΡΝ τῇ ὑπὸ ΗΘΚ· ἐκ τριῶν ἄρα γωνιῶν ἐπι-
πέδων τῶν ὑπὸ ΛΡΜ ΜΡΝ ΛΡΝ αἵ εἰσιν ἴσαι τρισὶ
ταῖς δοθείσαις ταῖς ὑπὸ ΑΒΓ ΔΕΖ ΗΘΚ στερεὰ γω-
νία συνέσταται ἡ πρὸς τῷ Ρ περιεχομένη ὑπὸ τῶν
ΛΡΜ ΜΡΝ ΛΡΝ γωνιῶν· ὅπερ ἔδει ποιῆσαι·

[illegible]



[illegible]

Ἀλλὰ δὴ ἔστω τὸ κέντρον τοῦ κύκλου ἐπὶ μιᾶς τῶν πλευρῶν
τοῦ τριγώνου τῆς ΜΝ καὶ ἔστω τὸ Ξ· καὶ ἐπεζεύχθω ἡ ΞΛ·
λέγω πάλιν ὅτι μείζων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ· εἰ γὰρ μή·
ἤτοι ἴση ἐστὶν ἡ ΑΒ τῇ ΛΞ ἢ ἐλάττων· ἔστω πρότε-
ρον ἴση· δύο δὴ αἱ ΑΒ ΒΓ τουτέστιν αἱ ΔΕ ΕΖ δυσὶ ταῖς
ΜΞ ΞΛ τουτέστι τῇ ΜΝ ἴσαι εἰσίν· ἀλλὰ ἡ ΜΝ τῇ
ΔΖ ἐστὶν ἴση· καὶ αἱ ΔΕ ΕΖ ἄρα τῇ ΔΖ ἴσαι εἰσίν· ὅπερ
κάτω
ἀδύνατον· οὐκ ἄρα ἡ ΑΒ ἴση ἐστὶ τῇ ΛΞ· ὁμοίως
δὴ οὐδὲ ἐλάττων· πολλῷ γὰρ τὸ ἀδύνατον μεῖζον·
ἡ ἄρα ΑΒ μείζων ἐστὶ τῆς ΛΞ· καὶ ἐὰν ὁμοίως ᾧ μεῖ-
ζόν ἐστι τὸ ἀπὸ τῆς ΑΒ τοῦ ἀπὸ τῆς ΛΞ· ἐκείνῳ
ἴσον πρὸς ὀρθὰς τῷ τοῦ κύκλου ἐπιπέδῳ ἀνα-
στήσωμεν, ὥστε τὸ ἀπὸ τῆς ΞΡ· συντελεσθήσεται τὸ πρό-
βλημα·





Ἀλλὰ δὴ ἔστω τὸ κέντρον τοῦ κύκλου ἐκτὸς τοῦ ΛΜΝ τρι-
γώνου· καὶ ἔστω τὸ Ξ· καὶ ἐπεζεύχθωσαν αἱ ΛΞ ΜΞ ΝΞ· λέ-
γω δὴ καὶ οὕτως ὅτι μείζων ἐστὶν ἡ ΑΒ τῆς ΛΞ· εἰ γὰρ
μή, ἤτοι ἴση ἐστὶν ἢ ἐλάττων· ἔστω πρότερον ἴση

BIBLIOTHECA BODLEIANA